ἢ μόσχον ὀπτὸν ἤ τι θήρειον δάκος
δαινύμενος εὖ τέγγων τε γαστέρ' ὑπτίαν
ἐπεκπιὼν γάλακτος ἀμφορέα πέπλον
κρούω, Διὸς βρονταῖσιν εἰς ἔριν κτυπῶν.
ὅταν δὲ βορέας χιόνα Θρῄκιος χέῃ,
δοραῖσι θηρῶν σῶμα περιβαλὼν ἐμὸν
καὶ πῦρ ἀναίθων, χιόνος οὐδέν μοι μέλει.
ἡ γῆ δ' ἀνάγκῃ, κἂν θέλῃ κἂν μὴ θέλῃ,
τίκτουσα ποίαν τἀμὰ πιαίνει βοτά.
ἁγὼ οὔτινι θύω πλὴν ἐμοί, θεοῖσι δ' οὔ,
καὶ τῇ μεγίστῃ, γαστρὶ τῇδε, δαιμόνων·
ὡς τοὐμπιεῖν γε κἀμφαγεῖν τοὐφ' ἡμέραν
Ζεὺς οὗτος ἀνθρώποισι τοῖσι σώφροσιν,
λυπεῖν δὲ μηδὲν αὑτόν· οἳ δὲ τοὺς νόμους
ἔθεντο ποικίλλοντες ἀνθρώπων βίον,
κλαίειν ἄνωγα· τὴν δ' ἐμὴν ψυχὴν ἐγὼ
οὐ παύσομαι δρῶν εὖ — κατεσθίων τε σέ.
ξένια δὲ λήψῃ τοιάδ', ὡς ἄμεμπτος ὦ,
πῦρ καὶ πατρῷον τόνδε λέβητά γ', ὃς ζέσας
σὴν σάρκα διαφόρητον ἀμφέξει καλῶς.
ἀλλ' ἕρπετ' εἴσω, τῷ κατ' αὔλιον θεῷ
ἵν' ἀμφὶ βωμὸν στάντες εὐωχῆτέ με.

ΟΔ. αἰαῖ, πόνους μὲν Τρωικοὺς ὑπεξέδυν
θαλασσίους τε, νῦν δ' ἐς ἀνδρὸς ἀνοσίου
γνώμην κατέσχον ἀλίμενόν τε καρδίαν.
ὦ Παλλάς, ὦ δέσποινα Διογενὲς θεά,
νῦν νῦν ἄρηξον· κρείσσονας γὰρ Ἰλίου
πόνους ἀφῖγμαι κἀπὶ κινδύνου βάθρα.

---

325 καὶ μόσχον Boissonade | τί L 326 εὖ τέγγων τε] Reiske, ἐν στέγοντι L 327 εἶτ' ἐκπιὼν Musgrave 329 βορρᾶς Nauck | θρηΐκιος L 330 περιλαβὼν mut. in περιβαλὼν L 333 τίκτουσα] φύουσα Athenag. leg. pro Christ. p. 28 334 ἃ 'γώ L 335 fort. τῷ μεγίστῳ 336 τοὐμπιεῖν] Reiske, τοῦ πιεῖν L | κἀμφαγεῖν] Reiske, καὶ φαγεῖν L 338 λιπεῖν L, λυπεῖν l 340 τὴν δ'] Barnes, τὴν L 341 τέ σε L 342 δὲ] Fix, τε L | ἄμεμπτος] Aldina, ἄμεπτος L 343 πῦρ κἀχελῷον καὶ λέβηθ' ὅστις ζέσας Herwerden (λέβηθ' ὅστις vel ὅσπερ Dobree), malim πῦρ κἀχελῷον τὸν λέβητά θ' ὃς ζέσας 344 διαφόρητον] Scaliger, δυσφόρητον L 346 βωμὸν] H. Stephanus, κῶμον L 349 γνώμην] ὠμὴν Reiske 352 πόνους] fort. μόχθους. Cfr. 347, Androm. 305